ΔιασαΦητικὸν, ψιλῦται, καὶ ὀξύνεται· βεβαιωτικὸν δὲ ψιλῦται, καὶ περισπᾶται. Τοπικὸν δὲ ὂν, ἢ Ἀρθρικὸν, ἢ Ὁμοιωματικὸν, δασύνεται, καὶ περισπᾶται καὶ ὑπογράΦεται δὲ τὸ Ὁμοιωματικὸν, καὶ Ἀρθρικὸν, ᾗ. Καθόλυ δὲ οἱ Σύνδεσμοι πάντες ψιλῦνται. Πλὴν τῶν Αἰτιολογικῶν, καὶ τῦ ὅμως ἐναντιωματικῦ ὀξύνονται δὲ καὶ οἱ Παρασυναπτικοί. ἐπεὶ, ἐπειδή. καὶ ἐπεκτεινόμενοι τῇ περ, ἐπὶ τῆς αὐτῆς Φυλάττεσι τὴν ὀξεῖαν τάσιν. ἐπείπερ. Ὀξύτονος δὲ καὶ ὁ ἀλλὰ, καὶ ὁ ἀλλαμήν. εἰ μὴ ἴσως τὸ ἀλλὰ, ὐκ ὀξυτονεῖσθαι, ἀλλὰ βαρύνεσθαι λέγοι τις, ὡς καὶ τινας τῶν ἄλλων συνδεσμων. ὐ γὰρ σώζει τὸν τόνον μετατιθέμενον, οἷόν τι καὶ περὶ τῶν Προθέσεων εἴρηται. Οἵ γε μὴν Ἐναντιωματικοὶ, παροξύνονται. ὅμως, ἔμπης. Ἔτι τῶν συνδέσμων τὸ ληκτικὸν α, καὶ ι, βραχύ. ἀλλὰ, ἀτὰρ, ἂν, ὅτι, διότι. ὕτω μὲν ὖν περὶ τόνυ, καὶ χρόνυ, καὶ μὴν δὴ καὶ πλείω ἄττα ἐνθυμηθέντας προσθεῖναι, εὖ ἂν ἔχοι.

## Περὶ Παθῶν τῶν κατὰ Προσῳδίαν.

§. ψξβʹ. Τῶν δὲ τριῶν εἰρημένων Παθῶν, Ἀποςρόφυ, ὝΦὲν, καὶ Ὑποδιαςολῆς· ἡ μὲν Ἀπόςροφος, ἀΦαίρεσίς ἐςιν, ἢ Φωνήεντος, τῦτ᾽ ἔςιν· ἢ Φωνηέντων, βύλομ᾽ ἐγώ.

§. ψξγʹ. ἈΦαιρεῖται δὲ τό, τε α, καὶ ι, βραχέα ὄντα· ἄρα ὗτος, ἄρ᾽ ὗτος, ἐπὶ ἡμῖν, ἐΦ᾽ ἡμῖν· καὶ τὸ ε, καὶ ο, τῦτο ἐμὸν, τῦτ᾽ ἐμόν· Φέρε εἰπὲ, Φέρ᾽ εἰπέ. Ποιητικῶς δὲ καὶ ἡ αι, καὶ οι. βύλομ᾽ ἐγώ. Οἴμ᾽ ὡς ἄχθομαι.